# ΕΚ ΤΟΥ ΑΡΙΣΤΟΤΕΛΙΚΟΥ ΠΕΠΛΟΥ

εἰς τοὺς Ὁμηρικοὺς ἥρωας ἐπιτάφια.

# FRAGMENTVM HOMERICI PEPLI

## Epitaphia continens quorundam herorum Homericorum,

*Guilelmo Cantero interprete.*

Ἐπὶ Πηνελέω, κειμένου ἐν βοιωτίᾳ.

Τόνδ' ἐπὶ Κηφισσῷ ποταμῷ θέσαν ὠκὺ ῥέοντι
παῖδες βοιωτῶν σώφρονα Πηνέλεων.

Ἐπὶ Ἀσκαλάφου καὶ ἰαλμένου.

Ἀσκαλάφου τροίῃ φθιμένου καὶ Ἰαλμένου ἥδε
ὀστέα πληξίππων γῆ μινυὰς κατέχει.

Ἐπὶ Αἴαντος τοῦ Οἰλέως, κειμένου ἐν μυκόνῳ τῇ νήσῳ.

Ἐνθάδε τῶν λοκρῶν ἡγήτορα γαῖα κατέσχεν
Αἴαντ' οἰλιάδην ἐν πελάγει φθίμενον.

Ἐπὶ Ἐλεφήνορος, κειμένου ἐν τροίῃ.

Νήσου ἀπ' εὐβοίης Ἐλεφήνορα ἀρχὸν ἀβάντων
ἐνθάδ' ἐπὶ τροίῃ μοῖρα κατέσχε βίου.

Ἐπὶ Μενεσθέως, κειμένου ἐν ἀθήναις.

Ταξίλοχος λαῶν, υἱὸς πετεῶο Μενεσθεὺς,
ἐνθάδ' ἐπὶ κλεινῇ πατρίδι μοῖραν ἔχει.

Ἐπὶ Αἴαντος τελαμωνίου, κειμένου ἐν τροίῃ.

Ἀδ' ἐγὼ ἁ τλάμων ἀρετὰ παρὰ τῷδε κάθημαι
Αἴαντος τύμβῳ κειραμένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, οὕνεκ' ἀχαιοῖς
ἁ δολόφρων ἀπάτα κρέσσον ἐμοῦ κέκριται.

Ἐπὶ Τεύκρου, κειμένου ἐν σαλαμῖνι τῆς κύπρου.

Ἰῶν ὠκυμόρων ταμίην, τελαμώνιον ἥδε
Τεῦκρον ἀποφθίμενον γῆ σαλαμὶς κατέχει.

Ἐπὶ Διομήδους κειμένου ἐν τῇ ὁμωνύμῳ νήσῳ.

Αἰνητὸν πάντεσσιν ἐπιχθονίοις Διομήδη
ἥδ' ἱερὰ κατέχει νῆσος ὁμωνυμίη.

Ἐπὶ Σθενέλου καὶ Εὐρυάλου, κειμένων ἐν ἄργει.

Ἀργεῖος Σθένελος καπανήϊος ὧδε τέθαπται
τύμβῳ, καὶ τούτου πλησίον Εὐρύαλος.

Ἐπὶ Ἀγαμέμνονος, κειμένου ἐν μυκήναις.

Ἀθρήσεις ἀτρείδεω Ἀγαμέμνονος ὦ ξένε τύμβον,
ὃς θάν' ὑπ' αἰγίσθου καὶ οὐλομένης ἀλόχου.

Ἕτερον.

Μνῆμα τόδ' ἀτρείδεω Ἀγαμέμνονος, ὅν ῥα κατέκτα

1 Penelei in Bœotia.

*Hunc ad Cephisi rapida abscondere gementes*
*Fortem Bœoti flumina Peneleum.*

2 Ascalaphi & Ialmeni, Minyæ.

*Ascalaphi Troiæ domiti, cui frater adhæret*
*Ialmenus, hoc Minyæ detinet ossa solū.*

3 Aiacis Oilei F. in Mycono.

*Heic Locri pelago submersi terra dynastæ*
*Aiacis corpus seruat Oiliadæ.*

4 Elpenoris, ad Troiam.

*Quem tulit Eubœa, princeps Elpenor Abantum,*
*Hac vacuū posuit Troade corpus humo.*

5 Menesthei, Athenis.

*Ductor castrorum, Petei stirps clara Menestheus,*
*Heic terræ corpus reddidit eximium.*

6 Aiacis Telamonij, ad Troiam.

*Huic ego tonsa comas magni miseranda decentes*
*Aiacis Virtus assideo tumulo,*
*Ingenti pulchrum pectus concussa dolore,*
*Cum Græcis potior me dolus extiterat.*

7 Teucri, Salamine Cypri.

*Doctū letiferas Teucrū torquere sagittas,*
*Quē Telamo genuit, hæc Salamina tenet.*

8 Diomedis, in Diomedea.

*Laudatum cunctis Diomedem hæc insula fortem,*
*Quæ simili fertur nomine, sacra tenet.*

9 Stheneli & Euryali, Argis.

*Argiuus Sthenelus Capaneius hoc monumento*
*Cōditur, atque illo nō procul Euryalus.*

10 Agamemnonis, Mycenis.

*Atridæ tumulum spectas Agamemnonis, hospes,*
*Qui perit AEgisthi coniugijque dolo.*

11 Aliud.

*Atridæ bustum hoc Agamemnonis, hunc sine lege*